# Sermo de iudicio et resurrectione

## Λόγος περὶ κρίσεως καὶ ἀναστάσεως

Δεῦτε πάντες, ἀδελφοί, καὶ ἀκούσατε ἐμοῦ τοῦ ἐλαχίστου Ἐφραΐμ, καὶ θήσωμεν κριτὴν ἡμέτερον λογισμόν, ἵνα καταμάθωμεν ἡμετέραν καρδίαν, εἰ καθάπερ λέγουσιν αἱ θεόπνευστοι Γραφαί, οὕτως πορευόμεθα. Μὴ ἄρα ἀθετῶμεν τὸ Πνεῦμα τὸ Ἅγιον, ἐν ᾧ ἐσφραγίσθημεν, καὶ εἰ μέν τις συνεῖδε καλὰ ἔργα ἐν αὐτῷ, σπουδαζέτω αὐξῆσαι τὴν χάριν, ἣν ἔλαβε παρὰ τοῦ φιλανθρώπου ἐν ταπεινοφροσύνῃ. Εἰ δὲ ἐν ἁμαρτίαις κατεγνωσμένοι ἐσμέν, διὰ τί ἀμελοῦμεν, φιλόχριστοι ἀδελφοί; Ἰδοὺ γὰρ κατέφθασεν ἐφ' ἡμᾶς, ὦ ἀδελφοί, ἡ ἡμέρα ἐκείνη, ἐν ᾗπερ σκοτίζεται τὸ φέγγος τοῦ ἡλίου καὶ πίπτουσι τὰ ἄστρα· ἐν ᾗπερ εἱλίσσεται ὡς βιβλίον ὁ οὐρανός· ἐν ᾗπερ βοᾷ σάλπιγξ μέγαν καὶ φρικτὸν ἦχον ἐξυπνίζουσα πάντας τοὺς ἀπ' αἰῶνος νεκρούς· ἐν ᾗπερ ἐκκενοῦται τὰ ταμεῖα τοῦ 201 ᾅδου διὰ φωνῆς τοῦ Κριτοῦ· ἐν ᾗπερ γίνεται ὁ Χριστὸς ἐν νεφέλαις μετὰ ἁγίων Ἀγγέλων κρῖναι ζῶντας καὶ νεκρούς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ. Ἀληθῶς γὰρ φοβερὰ ὑπάρχει ἡ τοῦ Χριστοῦ ἐν δόξῃ παρουσία. Θαῦμα γάρ ἐστι, φιλόχριστοι, θεωρῆσαι ἐξαίφνης οὐρανὸν σχιζόμενον καὶ γῆν ἀλασσομένην, νεκροὺς ἐγειρομένους. Παριστάνει γὰρ ἡ γῆ τοῦ ἀνθρώπου τὸ σῶμα ὁποῖον ἀπέλαβεν κἂν θῆρες ἐσπάραξαν, κἂν ὄρνεον ἔφαγεν, κἂν ἰχθὺς ἐμέλισεν. Οὐκ ἀπολιμπάνεται οὔτε θρὶξ τοῦ ἀνθρώπου ἐνώπιον τοῦ Κριτοῦ, καὶ γὰρ μεταβάλλονται <ὑπὸ> τοῦ Θεοῦ εἰς ἀφθαρσίαν ἕκαστος. Τοιοῦτον γὰρ ἅπαντες ἀπολαμβάνουσι σῶμα, πρὸς τὰ ἴδια ἔργα. Τὸ σῶμα τῶν δικαίων λάμπει ἑπταπλασίως ὑπὲρ φέγγος ἡλίου· τὰ δὲ τῶν ἁμαρτωλῶν σκοτεινὰ εὑρίσκονται καὶ δυσωδίας μεστά· τὸ σῶμα γὰρ τοῦ ἀνδρὸς μηνύει πράξεις αὐτοῦ· εἷς γὰρ ἕκαστος ἡμῶν πράξεις αὐτοῦ βαστάζει ἐν ἰδίῳ σώματι· καὶ γὰρ χαλεπὴ τότε ἐξέτασις γίνεται τῶν ἡμετέρων ἔργων· κἂν γὰρ διὰ ῥημάτων ἥμαρτέ τις ἡμῶν κἂν δι' ἐνθυμημάτων, περιιστᾷ αὐτῷ τότε· κἂν ἀγαθὸν ἔπραξεν, ὁμοίως 202 δὲ καὶ κακόν, ἐναργῶς βλέπει αὐτά· ὅπου δ' ἂν ἀτενίσῃ, πράξεις αὐτοῦ θεωρεῖ. Ἀγωνισώμεθα οὖν, ἀδελφοὶ ἀγαπητοί, ἐκφυγεῖν τὸ ὄνειδος καὶ τὴν φρικτὴν αἰσχύνην συναντῶσαν τότε τοῖς ἁμαρτωλοῖς πᾶσι, καὶ γενέσθαι μέτοχοι τῶν ἀγαθῶν ἐκείνων, ὧν ἡτοίμασε Θεὸς ἅπασι τοῖς δικαίοις, ἃ ὀφθαλμὸς οὐκ εἶδεν, οὐδὲ οὖς ἤκουσεν, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου [οὐκ] ἀνέβη· εἰς ἃ ἐπιθυμοῦσιν Ἄγγελοι παρακύψαι. Ὅταν γὰρ κατέρχεται ὁ Χριστὸς ἐξ οὐρανοῦ, εὐθὺς πῦρ τὸ ἄσβεστον διατρέχει πανταχοῦ πρὸ προσώπου τοῦ Χριστοῦ καὶ καλύπτει τὰ πάντα. Καὶ γὰρ ὁ ἐπὶ Νῶε γεγονὼς κατακλυσμός, τύπος ὑπῆρχε τούτου τοῦ πυρὸς τοῦ ἀσβέστου. Ὥσπερ γὰρ ἐκάλυψε πᾶσαν κορυφὴν ὄρους, οὕτως καὶ τὸ πῦρ τότε καλύπτει τὰ σύμπαντα. Τότε περιτρέχουσιν οἱ Ἄγγελοι πανταχοῦ καὶ ἁρπάζουσι πάντας τοὺς ἁγίους καὶ πιστοὺς ἐν δόξῃ ἐν νεφέλαις εἰς ἀπάντησιν Χριστοῦ. Σπουδάσωμεν οὖν, φίλοι, εὑρεθῆναι ἄξιοι τῆς ἁρπαγῆς ἐκείνης, καὶ σταθῆναι ἄμεμπτοι καὶ ἀνέγκλητοι τότε ἐνώπιον τοῦ φρικτοῦ καὶ φοβεροῦ βήματος. Μακάριος γάρ ἐστιν ἐν νεφέλαις συναντῶν τῷ Βασιλεῖ τῆς δόξης, ὥσπερ 203 οὖν τρισάθλιος ὁ ἀποστερούμενος ἐκείνης τῆς ἁρπαγῆς· οἱ γὰρ μὴ ἁρπασθέντες ἐν ἐνδόξοις νεφέλαις σημαίνουσιν ὑπάρχειν ἀσεβεῖς ἁμαρτωλοί. Μὴ οὖν ἀμελήσωμεν, φιλόχριστοι ἀδελφοί. Ἰδοὺ γὰρ τὸ στάδιον ἠνέῳκται ἅπασιν. Ὡς ἔχομεν οὖν καιρὸν σπουδάσωμεν μετανοῆσαι. Τὰ ὀλέθρια πάθη τοῦ σώματος καὶ ψυχῆς νικήσωμεν ἡδονήν, ὡς σώφρων Ἰωσήφ, μὴ τῷ σώματι μόνον, ἀλλὰ καὶ τῷ λογισμῷ· ὁ γὰρ τέλειος ἀνὴρ οὕτω σπεύδει σωφρονεῖν. Ὁ γὰρ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτήν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. Καὶ γὰρ τὰς τοῦ σώματος πράξεις πολλαὶ ἀφορμαὶ πολλάκις ἐξέκοψαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἀνθρώπινος φόβος πολλάκις ἀνέτρεψε· αἱ δὲ τῆς διανοίας ἀφόβως ἐνεργοῦνται <καὶ> ἄνευ κόπου πράσσονται. Οἷόν τι λέγω, φίλοι· πολλάκις τις ἐξ ὑμῶν προσέσχεν ἀκολάστως καὶ συνεπέθετο τῷ ἰδίῳ λογισμῷ καὶ παρέδραμεν εὐθύς. Ἔοικεν ὁ τοιοῦτος δορκάδι τοξευθείσῃ, τὰς χεῖρας τῶν θηρατῶν πολλάκις ἐκφυγοῦσα, τὸ δὲ βέλος λαβοῦσα μεθ' ἑαυτῆς ἀπῆλθεν. Ἐὰν γάρ τις ἐξ ἡμῶν ἡττηθῇ τῷ λογισμῷ, οὐκέτι ὁ τοιοῦτος διὰ Θεὸν σωφρονεῖ, εἰ μὴ γὰρ 204 διὰ φόβον πολλάκις τῶν ἀνθρώπων ἢ διὰ τὴν αἰσχύνην, καὶ τὸ σῶμα ἔφθειρε σὺν τῇ ἑαυτοῦ ψυχῇ. Οὐκέτι οὖν ἐκεῖνος ὡς σώφρων στεφανοῦται, ἀλλ' ὡς ἀνθρωπάρεσκος κολάζεται ἀπαύστως, εἰ μὴ μετανοήσῃ· εἰ δὲ προκαταληφθῇ καὶ ἡττηθῇ πώποτε τῷ ἰδίῳ λογισμῷ, ἰάσεται τὸ τραῦμα διὰ τῆς μετανοίας. Φύγωμεν οὖν, ἀδελφοί, κακὴν ἐπιθυμίαν· αὕτη γὰρ ἐγύμνωσεν ἐκ τῆς δόξης τὴν Εὔαν, ἵνα ἐπιθυμήσῃ γεῦσιν μιᾶς βρώσεως. Αὕτη καὶ κατακλυσμὸν ἐπήγαγε τῷ κόσμῳ· εἶδον γὰρ υἱοὶ Θεοῦ πρὸς αὐτάς, καὶ ἐμιάνθησαν αἰσχρῶς. Αὕτη τὴν Αἰγυπτίαν ἐποίησε μανῆναι τῷ σώφρονι Ἰωσήφ· ὁ νέος δὲ ἐκεῖνος, τὸν Θεὸν φοβούμενος, ἐνίκησεν ἀσπίδα συγκλεισθεῖσαν σὺν αὐτῷ. Αὕτη τὸν ἀριστέα καὶ ἀκαταγώνιστον, τὸν ναζιραῖον Σαμψών, αἰχμάλωτον ἔλαβεν· ὁ γὰρ σπαράξας πρῴην αἱμοβόρον λέοντα καὶ πατάξας χιλίους ἐν σιαγόνι ὄνου, ἐπειδὴ ἐπεθύμησε μετ' ἐχίδνης συνοικεῖν, ἐξέπεσαν εὐθὺς αἱ τρίχες τοῦ ναζιραίου, καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ τυφλωθεὶς ἐλεεινῶς, πᾶσι καταγέλαστος ἀνεδείχθη εὐθέως. Ὡσαύτως δὲ καὶ Δαυῒδ τὸν Οὐρίαν ἔσφαξε. Διὰ ἐπιθυμίας Να 205 βουθὲ ἀπέθανεν. Αὕτη καὶ τὸν ἄθλιον Ἰούδαν ἐποίησε παραδοῦναι τὸν Χριστόν, τὸν ἴδιον Δεσπότην. Μακάριος οὖν ἐστιν ὁ νικητὴς γεγονὼς πάσης ἐπιθυμίας ἀκοῆς καὶ βλέμματος, ἁφῆς καὶ ὀσφρήσεως, καὶ ἀναδησάμενος στέφανον σωφροσύνης κομιεῖται τοῦτον ἔμπροσθεν τοῦ βήματος τοῦ φοβεροῦ καὶ φρικτοῦ. Δεῦτε ἐπὶ τὸ αὐτό, προσκυνήσωμεν αὐτῷ, ὁμοφώνως λέγοντες· ἀλληλούϊα. Δεῦτε πάντες, Χριστὸν δοξάσωμεν. Ἀμήν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.